Ἤλιδος δυνάστορες,
οὓς Ἐπειοὺς ὠνόμαζε πᾶς λεώς·
Εὔρυτος δ' ἄνασσε τῶνδε·
λευκήρετμον δ' Ἄρη
Τάφιον †ἦγεν, ὧν Μέγης
ἄνασσε, Φυλέως λόχευμα,
τὰς Ἐχίνας λιπὼν
νήσους ναυβάταις ἀπροσφόρους.
Αἴας δ' ὁ Σαλαμῖνος ἔντροφος ἀντ. δ'.
†δεξιὸν κέρας πρὸς τὸ λαιὸν ξύναγε,
τῶν ἆσσον ὥρμει πλάταισιν
ἐσχάταισι συμπλέκων
δώδεκ' εὐστροφωτάταισι ναυσίν· ὡς
ἄϊον καὶ ναυβάταν
εἰδόμαν λεών·
ᾧ τις εἰ προσαρμόσει
βαρβάρους βάριδας,
νόστον οὐκ ἀποίσεται.
ἐνθάδ' †ἄϊον εἰδόμαν
νάϊον πόρευμα,
τὰ δὲ κατ' οἴκους κλύουσα †συγκλήτου
μνήμην σῴζομαι στρατεύματος.]

ΘΕ. Μενέλαε, τολμᾷς δείν', ἅ σ' οὐ τολμᾶν χρεών.
ΜΕ. ἄπελθε· λίαν δεσπόταισι πιστὸς εἶ.
ΘΕ. καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας.
ΜΕ. κλαίοις ἄν, εἰ πράσσοις ἃ μὴ πράσσειν σε δεῖ.
ΘΕ. οὐ χρῆν σε λῦσαι δέλτον, ἣν ἐγὼ 'φερον.
ΜΕ. οὐδέ γε φέρειν σὲ [δεῖ] πᾶσιν Ἕλλησιν κακά.
ΘΕ. ἄλλοις ἁμιλλῶ ταῦτ'· ἄφες δὲ τήνδ' ἐμοί.
ΜΕ. οὐκ ἂν μεθείμην. ΘΕ. οὐδ' ἔγωγ' ἀφήσομαι.
ΜΕ. σκήπτρῳ τάχ' ἆρα σὸν καθαιμάξω κάρα.
ΘΕ. ἀλλ' εὐκλεές τοι δεσποτῶν θνήσκειν ὕπερ.
ΜΕ. μέθες· μακροὺς δὲ δοῦλος ὢν λέγεις λόγους.
ΘΕ. ὦ δέσποτ', ἀδικούμεσθα. σὰς δ' ἐπιστολὰς
ἐξαρπάσας ὅδ' ἐκ χερῶν ἐμῶν βίᾳ,
Ἀγάμεμνον, οὐδὲν τῇ δίκῃ χρῆσθαι θέλει.